τινα πιστεύειν ὅτι διακρίνομεν τὸ λευκὸν τοῦ γλυκέος οὐ μιᾷ τινι δυνάμει ἀλλὰ διαφόροις, καθόσον δηλονότι τῇ γεύσει γινώσκομεν τὸ γλυκύ, καὶ τῇ ὄψει, τὸ λευκόν. Ἀλλὰ τοῦτο ἀποκλείει λέγων ὅτι οὐκ ἐνδέχεται διακρίνειν, ὅτι τὸ λευκόν ἐστιν ἕτερον παρὰ τὸ γλυκὺ κεχωρισμέναις δυνάμεσιν, τουτέστι διαφόροις, ἀλλὰ δεῖ πρὸς τὸ διαιρεῖν αὐτὰ καθ' ἑκάστην τὴν δύναμιν ἐγνῶσθαι ἡμῖν· τὸ γὰρ διαφόροις δυνάμεσιν αἰσθάνεσθαι τοῦ γλυκέος καὶ τοῦ λευκοῦ οὕτως ἔχει ὥσπερ εἰ διάφοροι ἄνθρωποι αἰσθάνοιντο αὐτῶν, ὁ μὲν τοῦ γλυκέος, ὁ δὲ τοῦ λευκοῦ, οἷον εἰ ἐγὼ αἰσθανοίμην τούτου, καὶ σὺ ἐκείνου. Τούτου δὲ κειμένου, φανερόν ἐστιν ὅτι διαφέρουσιν ἀλλήλων τὸ γλυκὺ καὶ τὸ λευκὸν τῷ ἄλλως πάσχειν ἐμὲ ὑπὸ τοῦ γλυκέος, καὶ σὲ ἄλλως ὑπὸ τοῦ λευκοῦ· ἀλλ' ὅμως ἡ διαφορότης αὕτη οὐκ ἔσται φανερά, ἀλλὰ δεῖ εἶναι ἕνα τὸν λέγοντα ὅτι τὸ γλυκὺ ἄλλο ἐστὶ παρὰ τὸ λευκόν· τοῦτο γάρ ἐστιν ἕν τι ἀληθές, δηλονότι τὸ ἄλλο εἶναι τὸ γλυκὺ παρὰ τὸ λευκόν. Δεῖ τοίνυν τοῦτο τὸ ἓν παρὰ τοῦ αὐτοῦ καὶ ἑνὸς λέγεσθαι. Ἀλλ' ἡ διάκρισις ἐστὶν ἑρμηνεία τῆς ἐνδοτέρας καταλήψεως. Ὥσπερ οὐκοῦν εἷς ἐστιν ὁ λέγων, οὕτω δεῖ καὶ ἕνα εἶναι τὸν νοοῦντα καὶ αἰσθανόμενον ἄλλο εἶναι τὸ λευκὸν καὶ τὸ γλυκύ. Λέγει δέ·
f. 326 νοεῖ καὶ αἰσθάνεται, | διότι οὔπω ἔδειξεν ὅτι ἄλλος ἐστὶν ὁ νοῦς παρὰ τὴν αἴσθησιν, ἢ διότι αὕτη ἡ διαφορότης καὶ τῷ νῷ καὶ τῇ αἰσθήσει γινώσκεται. Ὥσπερ τοίνυν χρὴ τὸν ἕνα ἄνθρωπον τὸν λέγοντα ἄλλο εἶναι τὸ λευκὸν τοῦ γλυκέος εἶναι τὸν γινώσκοντα ἑκάτερον, οὕτω δεῖ καὶ μίαν δύναμιν εἶναι ᾗ γινώσκει ἑκάτερον· ὁ γὰρ ἄνθρωπος οὐ γινώσκει εἰ μὴ κατά τινα δύναμιν· καὶ τοῦτ' ἔστιν ὃ συμπεραίνει, δηλονότι ὅτι φανερόν ἐστιν μὴ εἶναι δυνατὸν κρίνειν τὰ κεχωρισμένα ἤγουν τὰ διάφορα διαφόροις δυνάμεσιν, ἀλλὰ δεῖ εἶναι τὴν αὐτὴν δύναμιν, δι' ἧς ἄν τις ἄμφω γινώσκοι.

Ὅτι δὲ οὐδ' ἐν κεχωρισμένῳ. Ἐνταῦθα δείκνυσιν, ὅτι δεῖ ἅμα ἑκάτερον γινώσκεσθαι. Φησὶ τοίνυν ὅτι ἐκ τῶν ῥηθησομένων φανερὸν ἔσται καὶ ὅτι οὐδ' ἐν κεχωρισμένῳ ἤγουν διαφόρῳ γινώσκουσιν ἑκάτερον. Ὥσπερ γὰρ ὁ κρίνων τινὰ εἶναι διάφορα λέγει τι ἓν καὶ τὸ αὐτό, δηλονότι ὅτι ἕτερόν ἐστι τὸ ἀγαθὸν καὶ τὸ κακόν, οὕτω λέγει καὶ πότε θάτερον ἐστίν· λέγει γὰρ ὅτι ἔστι θάτερον τότε, ὅταν κρίνῃ, καὶ τοῦτο αὐτό, τὸ ὅτι ἐστὶ θάτερον, οὐ λέγω κατὰ συμβεβηκός, ὥστε τὸ ὅτε ἀναφέρεσθαι πρὸς τὸν λέγοντα, οἷον διότι νῦν λέγει ὅτι ἔστιν ἕτερον, εἰ μὴ λέγει ὅτι νῦν ἐστιν ἕτερον· τοῦτο γὰρ ἂν ἦν κατὰ συμβεβηκὸς τῇ πρὸς τὸ λεγόμενον ἀποβλέψει. Ἀλλ' εἰ νῦν λέγει, ὅτι ἔστι θάτερον, οὕτω λέγει ὅτι νῦν ἐστὶ θάτερον· τοῦτο δὲ οὐκ ἂν ἠδύνατο εἶναι εἰ μὴ ἅμα αὐτὰ κατελάμβανεν ἐν ἐκείνῳ τῷ ἀκαριαίῳ, ἐν ᾧ κρίνει αὐτὰ εἶναι ἕτερα. Φανερὸν τοίνυν,

---

3 *ἐνδέχεταί τι* B  5 *τουτέστι: ἤτοι* B  10 *τῷ: διὰ τὸ* B  18 *νοεῖ: εἰ* B

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὅτι ἄμφω ἅμα γινώσκει. Ὥσπερ τοίνυν ἀχώριστός ἐστιν ἡ δύναμις, τουτέστι μία καὶ ἡ αὐτή, ἥτις γινώσκει ἑκάτερον αὐτῶν, ἐν οἷς κρίνεται ἡ διαφορά, οὕτω δεῖ καὶ ἐν ἀχωρίστῳ χρόνῳ καταλαμβάνειν ἑκάτερον.

Ἀλλὰ μὴν ἀδύνατον. Ἐνταῦθα ἀντιτίθησιν εἰς τοὐναντίον, καὶ περὶ τοῦτο τέσσαρα ποιεῖ· πρῶτον, τίθησι τὴν ἀντίθεσιν. Ἀδύνατόν ἐστι, λέγων, τὸ αὐτὸ καὶ ἀδιαίρετον κινεῖσθαι κατὰ τὰς ἐναντίας κινήσεις ἅμα καὶ ἐν ἀδιαιρέτῳ χρόνῳ. Ἀλλ' ὁ νοῦς καὶ ἡ αἴσθησις κινοῦνται ὑπὸ τοῦ νοητοῦ καὶ αἰσθητοῦ, ἐφόσον αἰσθάνονται καὶ νοοῦσιν, τὰ δὲ διάφορα καὶ αἰσθητὰ καὶ ἐναντία διαφόροις καὶ ἐναντίαις κινήσεσι κινοῦσιν. Ἀδύνατον ἄρα ἐστὶν τὴν αὐτὴν δύναμιν αἰσθητικὴν ἢ νοερὰν ἅμα γινώσκειν τὰ ἐναντία καὶ διάφορα. Δεύτερον, ἐν τῷ· Ἄρ' οὖν, τίθησι μίαν λύσιν, καὶ φησὶν ὅτι τὸ κρίνον τὴν διαφοράν, ἥτις ἐστὶ μεταξὺ τῶν ἐναντίων ἢ τῶν διαφόρων, ἅμα ὑπάρχει καὶ ἀριθμῷ ἀδιαίρετον καὶ ἀχώριστον, τουτέστιν ἕν ἐστι τῷ ὑποκειμένῳ. Ἀλλὰ κατὰ τὸ εἶναι ἐστὶ κεχωρισμένον, τουτέστι λόγῳ ἐστὶ διάφορον. Οὕτω τοίνυν τρόπῳ μέν τινι τὸ ἀδιαίρετον αἰσθάνεται τὰ διαιρετά, τουτέστι τὸ διάφορον τὰ διάφορα. Ἄλλῳ δὲ τρόπῳ τὸ ἀδιαίρετον αἰσθάνεται τὰ διαιρετά, διότι κατὰ μὲν τὸ εἶναι ἐστὶ διαιρετόν, τουτέστι τῷ λόγῳ, ἀλλὰ τόπῳ καὶ ἀριθμῷ ἐστὶν ἀδιαίρετον, τουτέστι τῷ ὑποκειμένῳ ἕν ἐστι. Καὶ φησὶ τόπῳ, διότι διάφοροι δυνάμεις εὑρίσκονται ἐν διαφόροις μέρεσι τοῦ ὀργανικοῦ σώματος. Τρίτον, ἐν τῷ· Ἢ οὐχ οἷόν τε, ἀποδοκιμάζει ταύτην τὴν λύσιν λέγων ὅτι ἀδύνατόν ἐστι τὴν εἰρημένην λύσιν ἑστάναι. Τὸ αὐτὸ γὰρ καὶ ἀδιαίρετον τῷ ὑποκειμένῳ καὶ οὐχὶ τῷ εἶναι, τουτέστι τῷ λόγῳ, δύναται μὲν ἔχειν τὰ ἐναντία κατὰ δύναμιν· ἀλλὰ τὸ ἔχον τὰ ἐναντία ἐν τῷ ἐνεργεῖσθαι, τουτέστι κατ' ἐνέργειαν, δεῖ εἶναι διαιρετόν, καὶ ἀδύνατόν ἐστι τὸ αὐτὸ ἀδιαίρετον ἅμα καὶ ἅπαξ εἶναι λευκὸν καὶ μέλαν· ὅθεν οὐδὲ δυνατὸν ἕν τι καὶ τὸ αὐτὸ ἀδιαίρετον ἅμα πάσχειν τὰ εἴδη αὐτῶν, καὶ οὕτως οὐδὲ νοεῖν καὶ αἰσθάνεσθαι, εἰ τὸ νοεῖν καὶ αἰσθάνεσθαι τοιοῦτον ἐστίν, ἤγουν πάσχειν τι. Τέταρτον, ἐν τῷ· Ἀλλ' ὥσπερ, τίθησι τὴν ἀληθῆ λύσιν· καὶ λαμβάνεται αὕτη ἡ λύσις ἐκ παραδείγματος τοῦ σημείου, εἴτουν τῆς στιγμῆς· ἡ γὰρ στιγμή, ἡ μεταξὺ τῶν δύο μερῶν τῆς γραμμῆς οὖσα, δύναται λαμβάνεσθαι ὡς ἓν καὶ ὡς δύο· ἓν μέν, καθὸ συνεχίζει τὰ μέρη τῆς γραμμῆς ὡς κοινὸς ὅρος· ὡς δὲ δύο, καθὸ δὶς χρώμεθα τῇ στιγμῇ, δηλονότι ὡς ἀρχῇ τῆς μιᾶς γραμμῆς, καὶ ὡς τέλει τῆς ἑτέρας. Οὕτω δεῖ νοεῖν καὶ ὅτι ἡ τοῦ αἰσθάνεσθαι δύναμις | διαχεῖται εἰς τὰ ὄργανα τῶν πέντε αἰσθήσεων ἀπὸ f. 326v
τινος μιᾶς κοινῆς ῥίζης, ἀφ' ἧς πρόεισιν ἡ τοῦ αἰσθάνεσθαι δύναμις καὶ πρὸς ἣν ὁρίζονται πᾶσαι αἱ ἑκάστου τῶν ὀργάνων πάθαι καὶ μεταβολαί. Δύναται τοίνυν τοῦτο θεωρεῖσθαι διχῶς· ἑνὶ μὲν τρόπῳ, καθὼς ἐστι μία ἀρχὴ καὶ εἷς ὅρος πασῶν τῶν αἰσθητῶν ἀλλοιώσεων· ἄλλον δὲ τρόπον, καθὼς ἐστιν ἀρχὴ καὶ ὅρος ταύτης καὶ ἐκείνης τῆς αἰσθήσεως, καὶ

τοῦτ' ἔστιν ὅ φησιν, ὅτι ὥσπερ ἡ στιγμὴ ἐστὶν ἢ ἕν, ἢ δύο, οὕτω διαιρετή ἐστι καὶ ἡ κοινὴ αἰσθητικὴ ἀρχή· οὕτω δέ ἐστι διαιρετή, καθόσον δὶς χρῆται τῷ αὐτῷ σημείῳ, τουτέστι τῇ ἀρχῇ τῇ αἰσθητικῇ, δηλονότι ὡς ἀρχῇ καὶ ὡς πέρατι τῆς ὄψεως καὶ τῆς ἀκοῆς. Ἐφόσον οὖν τις χρῆται τῇ αἰσθητικῇ ἀρχῇ ὡς ἑνὶ πέρατι ἀντὶ δυοῖν, ἐπὶ τοσοῦτον δύο κρίνει, καὶ κεχωρισμένα εἰσὶ τὰ λαμβανόμενα, ὥσπερ καὶ κεχωρισμένῃ, τουτέστι διαιρετῇ ἀρχῇ γινώσκονται. Ἐφόσον δέ ἐστι μία ἐν ἑαυτῇ, οὕτω μιᾷ ἀρχῇ γινώσκει τὴν διαφορὰν ἑκατέρου καὶ ἅμα. Ἔχει τοίνυν αὕτη ἡ αἰσθητικὴ κοινὴ ἀρχὴ τὸ ἅμα γινώσκειν πλείω αἰσθητά, ἐφόσον λαμβάνεται δὶς ὡς ὅρος δύο μεταβολῶν αἰσθητῶν· ἐφόσον δέ ἐστι μία, κρίνειν δύναται τὴν διαφορὰν θατέρου πρὸς θάτερον. Δεῖ δὲ ταύτην τὴν κοινὴν αἰσθητικὴν ἀρχὴν ἔχειν ὀργανόν τι, διότι ἡ αἰσθητικὴ μοῖρα οὐκ ἔχει ἐνέργειάν τινα ἄνευ ὀργάνου. Ἐπεὶ τοίνυν τὸ ὄργανον τῆς ἀφῆς διαχεῖται διὰ παντὸς τοῦ σώματος, ἀνάγκη ἐκεῖ εἶναι τὸ τῆς ἀρχῆς ταύτης ὄργανον, ὅπου ἡ πρώτη ῥίζα τοῦ ὀργάνου τῆς ἀφῆς, καὶ διὰ τοῦτο ἀνωτέρω εἶπεν, ὅτι εἰ ἡ σὰρξ ἦν τὸ ἔσχατον ὄργανον τῆς ἀφῆς, ἁπτόμενοι κατὰ τὴν σάρκα διεκρίναμεν ἂν ἓν αἰσθητὸν ἀπ' ἄλλου. Θεωρητέον δὲ ὅτι, εἰ καὶ αὕτη ἡ κοινὴ ἀρχὴ διατίθεται καὶ μεταβάλλει πως ὑπὸ τῆς ἰδίας αἰσθήσεως, διότι πρὸς τὴν κοινὴν αἴσθησιν καταντῶσι πᾶσαι αἱ πάθαι πασῶν τῶν ἰδίων αἰσθήσεων ὥσπερ εἰς κοινὸν ὅρον, οὐ μέντοι διὰ τοῦτο ἡ ἰδία αἴσθησίς ἐστιν εὐγενεστέρα τῆς κοινῆς, εἰ καὶ ὅτι μάλιστα τὸ κινοῦν εὐγενέστερόν ἐστι τοῦ κινουμένου, καὶ τὸ δρῶν τοῦ πάσχοντος· ὥσπερ οὐδὲ τὸ ἔξωθεν αἰσθητὸν εὐγενέστερόν ἐστι τῆς ἰδίας αἰσθήσεως, εἰ καὶ κινεῖ ταύτην· ἔστι γὰρ κατά τι εὐγενέστερον, δηλονότι καθόσον ἐστὶν ἐνεργείᾳ λευκὸν καὶ γλυκύ, πρὸς ὃ ἡ ἰδία αἴσθησίς ἐστιν ἐν δυνάμει· ἀλλ' ἡ ἰδία αἴσθησις εὐγενεστέρα ἐστὶν ἁπλῶς διὰ τὴν αἰσθητικὴν ἐν αὐτῇ δύναμιν· ὅθεν καὶ εὐγενεστέρῳ δέχεται τρόπῳ, δηλονότι χωρὶς ὕλης. Πᾶν γὰρ τὸ δεχόμενόν τι δέχεται τοῦτο κατὰ τὸν ἑαυτοῦ τρόπον. Οὕτω δὲ καὶ ἡ κοινὴ αἴσθησις εὐγενεστέρῳ δέχεται τρόπῳ ἢ ἡ ἰδία, διότι ἡ αἰσθητικὴ δύναμις θεωρεῖται ἐν τῇ κοινῇ αἰσθήσει ὡς ἐν ῥίζῃ καὶ ἧττον διῃρημένη. Οὐδὲ δεῖ διά τινος ἐνεργείας τῆς κοινῆς αἰσθήσεως τὰ εἴδη τὰ προσλαμβανόμενα ἐν τῷ ὀργάνῳ γίνεσθαι ἐν αὐτῇ, διότι πᾶσαι αἱ αἰσθητικαὶ δυνάμεις εἰσὶ παθητικαί, οὐδέ ἐστι δυνατὸν μίαν δύναμιν εἶναι ἐνεργητικὴν καὶ παθητικήν. Θεωρητέον ἐστὶν ἔτι, ὅτι ἡ ἰδία αἴσθησις ἔχει διακρίνειν μεταξὺ τῶν ἐναντίων αἰσθητῶν, καθόσον μετέχει τι τῆς κοινῆς αἰσθήσεως τῇ δυνάμει αὐτῆς τῆς κοινῆς αἰσθήσεως, διότι καὶ αὐτὴ ἡ ἰδία αἴσθησίς ἐστιν εἷς ὅρος διαφόρων ἀλλοιώσεων γινομένων διὰ τοῦ μέσου ἀπὸ τῶν ἐναντίων αἰσθητῶν. Ἀλλ' ἡ ἐσχάτη κρίσις καὶ ἡ ἐσχάτη διάκρισις ἀνήκει πρὸς τὴν κοινὴν αἴσθησιν. Τελευταῖον ἐπιλογικῶς συμπεραίνει, ὅτι εἴρηται περὶ τῆς ἀρχῆς, καθ' ἣν τὸ ζῷον λέγεται εἶναι αἰσθητικόν, ἢ δυνάμενον αἰσθάνεσθαι.

## Leçon IV.

Ἐπειδὴ δὲ δύο διαφοραῖς. Δείξας ὁ Φιλόσοφος, ὅτι αἱ δύο ἐνέργειαι περὶ ὧν ἠπορεῖτο, δηλονότι τὸ καταλαμβάνειν τὰς ἐνεργείας τῶν ἰδίων αἰσθήσεων καὶ τὸ διακρίνειν ἐν τοῖς αἰσθητοῖς τῶν διαφόρων αἰσθήσεων, οὐχ ὑπερβαίνει τὴν εὐπορίαν τῆς αἰσθητικῆς ἀρχῆς, νῦν βούλεται ζητῆσαι πότερον τὸ φρονεῖν καὶ νοεῖν ἐκβαίνει τὴν εὐπορίαν τῆς αὐτῆς ἀρχῆς, ἢ μή· καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι τὸ φρονεῖν καὶ νοεῖν οὐκ ἀνήκει πρὸς τὴν αἴσθησιν, ὅπερ ἐστὶ δεικνύναι τὴν αἴσθησιν καὶ τὸν νοῦν μὴ εἶναι ταὐτόν· δεύτερον, δείκνυσιν ὅτι οὐδὲ ἡ φαντασία, ἥτις ἀνήκει πρὸς τὴν αἴσθησιν, ἔστι ταὐτὸν μετὰ τῆς ἐνεργείας τῆς πρὸς τὸν νοῦν ἀνηκούσης, ἐν τῷ· Φαντασία γάρ. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, ἐκτίθεται τὴν δόξαν τῶν τιθεμένων τὴν αἴσθησιν καὶ τὸν νοῦν εἶναι ταὐτόν· δεύτερον, ἀπορραπίζει ταύτην, ἐν τῷ· Καίτοι | ἔδει ἅμα. f. 327
Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, τίθησι τὴν δόξαν· δεύτερον, ἀποδίδωσι τὴν αἰτίαν τῆς δόξης, ἐν τῷ· Πάντες γὰρ οὗτοι. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, τίθησι τὴν δόξαν ἐν τῷ κοινῷ· δεύτερον, εἰσάγει ῥήματα τινῶν φιλοσόφων πρὸς τοῦτο τείνειν δοκοῦντα, ἐν τῷ· Καὶ οἵ γε ἀρχαῖοι. Φησὶ τοίνυν, πρῶτον, ὅτι ἐπειδὴ οἱ ἀρχαῖοι φιλόσοφοι ὡρίζοντο τὴν ψυχὴν κατὰ δύο, δηλονότι κατά τε τὴν κατὰ τόπον κίνησιν καὶ κατὰ τὴν γνῶσιν, ἥτις ἐναποκλείει τὴν νοερὰν κρίσιν καὶ τὴν αἴσθησιν, δοκεῖ ἐντεῦθεν ὅτι, κατὰ τὴν αὐτῶν θέσιν, τὸ νοεῖν καὶ φρονεῖν ἐστιν αἰσθάνεσθαί τι, διότι κἂν τῷ νοεῖν κἂν τῷ αἰσθάνεσθαι ὡσαύτως ἡ ψυχὴ κρίνει καὶ γινώσκει.

Μετὰ ταῦτα λέγων· Καὶ οἵ γε ἀρχαῖοι, δείκνυσιν ὅτι οὐ τοῦτο μόνον ἕπεται ἐξ ὧν κοινῶς ἔλεγον, ἀλλ᾿ ἐναργῶς καὶ διαρρήδην οἱ ἀρχαῖοι εἶπον, ὅτι ταὐτόν ἐστι τό τε διὰ νοῦ φρονεῖν καὶ τὸ αἰσθάνεσθαι· καὶ ὡς ἂν νοηθῶσι τὰ τῶν ἀρχαίων φιλοσόφων ῥήματα, ἅπερ εἰσαχθήσονται, πῶς ποιοῦσι πρὸς τὸ προκείμενον, θεωρῆσαι δεῖ, ὅτι οὐδὲν σῶμα δύναται ἀπ᾿ εὐθείας δρᾶν εἰς ἐκεῖνο, ὅπερ οὐδενὶ τρόπῳ ἐστὶ σωματικόν. Ἐπειδὴ γοῦν αἱ αἰσθητικαὶ δυνάμεις τρόπῳ τινὶ εἰσὶ σωματικαί, διότι δυνάμεις εἰσὶν ὀργάνου σωματικοῦ, δύνανται ἀλλοιοῦσθαι καὶ μεταβάλλειν τῇ δυνάμει τῶν οὐρανίων σωμάτων, κατὰ συμβεβηκὸς μέντοι, διότι οὔτε ἡ ψυχή, οὔτε δύναμις τῆς ψυχῆς κινεῖται εἰ μὴ κατὰ συμβεβηκός, κινηθέντος τοῦ σώματος. Καὶ διὰ τοῦτο συμβαίνει ἐκ τῆς ἐντυπώσεως καὶ τῆς ἀνάγκης τοῦ οὐρανίου σώματος ἀλλοιοῦσθαι καὶ τὴν φαντασίαν καὶ τὴν αἰσθητικὴν ὄρεξιν· ὅθεν καὶ τὰ ἄλογα τὰ τῇ ἰδίᾳ ὀρέξει ἀγόμενα ἐν ταῖς ἰδίαις κινήσεσιν, ὡς ἐπὶ τὸ πλεῖστον αἰσθάνονται τῆς δράσεως τῶν οὐρανίων σωμάτων, ἐν σφίσιν αὐτῆς ὥσπερ ἐναποματτομένης. Τὸ τιθέναι τοίνυν, ὅτι τὰ οὐράνια σώματα ἔχουσιν ἀπ᾿ εὐθείας δύναμιν δραστικὴν ἐν τῇ νοερᾷ μοίρᾳ ὅσον πρὸς τὸν

26 *ἀρχαίων* om A  32 *τις* avant *τῆς* add B  35 *τὰ* avant *τῇ* om B



Ε. Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

νοῦν καὶ τὴν θέλησιν, τιθέναι ἐστὶ τὸν νοῦν καὶ τὴν θέλησιν δυνάμεις εἶναι σωματικάς. Καὶ τοῦτο βούλονται καὶ ἠχοῦσι ῥήματα τινῶν φιλοσόφων ἀρχαίων. Ἔφη γὰρ Ἐμπεδοκλῆς, ὅτι κἂν τοῖς ἀνθρώποις κἂν τοῖς ἄλλοις ζῴοις ἡ θέλησις αὔξει, τουτέστι διεγείρεται ἐν τῷ ἐνεργεῖν πρὸς τὸ παρόν, τουτέστι κατὰ τὴν τῆς παρούσης ὥρας διάθεσιν, ἥτις διάθεσις ἤρτηται τῆς διαθέσεως τῶν οὐρανίων σωμάτων· ὅθεν ὁ παρὼν χρόνος ἢ ἡ ὥρα αὐτοῖς, δηλονότι τοῖς ἀνθρώποις καὶ τοῖς ἄλλοις ζῴοις, ἀλλοῖα φρονεῖν αἴτια γίνονται· ἐν γὰρ διαφόροις ὥραις καὶ χρόνοις διάφορά τε καὶ διαφόρως ὁ ἄνθρωπος καὶ τὰ ἄλλα ζῷα κρίνειν φαίνονται περὶ τῶν πραγμάτων. Πρὸς τὸ αὐτὸ δὲ τοῦτο ἀνήκει καὶ τὸ Ὁμηρικὸν ἐκεῖνο·

Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον γ' ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε,

τὸν ἥλιον λέγων. Λέγεται δὲ ὁ ἥλιος πατὴρ ἀνδρῶν, διότι αἰτία τίς ἐστιν αὐτὸς τοῦ ἀνθρωπείου γένους· ὁ γὰρ ἄνθρωπος γεννᾷ ἄνθρωπον καὶ ὁ ἥλιος. Λέγεται δὲ πατὴρ τῶν θεῶν ἢ διὰ τὰ οὐράνια σώματα, ἅπερ οἱ ἀρχαῖοι θεοὺς προσηγόρευον, ἃ κατὰ τοὺς ἀστρολόγους τρόπῳ τινὶ κανονίζονται ὑπὸ τοῦ ἡλίου, ἢ διὰ τοὺς ἀνθρώπους, οὓς θεοποιεῖσθαι ἐπίστευον, οἵτινες ἐγεννῶντο τῇ τοῦ ἡλίου δυνάμει. Ἡ δὲ δύναμις τοῦ ἡλίου ἐπ' ἦμαρ λέγεται εἶναι, διότι ἐν ἡμέρᾳ ἡμῖν φαίνεται κινούμενος ἐν τῷ ὑπὲρ ἡμᾶς ἡμισφαιρίῳ· ὅθεν καὶ ὑπὸ τῶν ἀστρολόγων ἡμερινὸς πλανήτης ὀνομάζεται. Βούλεται τοίνυν Ὅμηρος λέγειν, ὅτι οἱ ἐπιχθόνιοι ἄνθρωποι κληροῦνται τὸν νοῦν ἐκ τῆς τοῦ ἡλίου ἐνεργείας, καὶ ὅτι κατὰ τὴν διαφορὰν τῆς κινήσεως καὶ τῆς θέσεως καὶ τῆς ἐπιβλέψεως τῆς ἡλιακῆς οἱ ἄνθρωποι διαφόρως ἔχουσιν ἐν τῷ νοεῖν. Ἰστέον μέντοι γε ὅτι τοῦτο τὸ ἔπος Ὁμήρου οὐχ ὅλον τέθεικεν ὁ Ἀριστοτέλης, ἀλλὰ μόνον τὴν ἀρχήν· ὅθεν οὔτε ἐν τῷ ἑλληνικῷ, οὔτε ἐν τῷ ἀραβικῷ κεῖται πλέον τοῦ· Τοῖος γὰρ νόος ἐστίν, ἵνα νοήσωμεν τοῦτο, καθὼς αὐτοὶ εἰώθαμεν, εἰσάγοντές τινα στίχον ἢ γνώμην τινὸς ποιητοῦ, τιθέναι μόνον τὴν ἀρχήν, ὁπόταν φανερὸν ᾖ τὸ ἔπος καὶ γνώριμον. Ἀλλὰ διότι τοῦτο τὸ ἔπος τοῦ Ὁμήρου οὐκ ἦν ἐγνωσμένον παρὰ Λατίνοις, ὁ Βοήτιος ὅλον ἔθηκεν. Δῆλον τοίνυν τὸ συναγόμενον ἐντεῦθεν εἶναι ὅτι, εἰ τὰ οὐράνια σώματα ἔχουσιν ἀπ' εὐθείας τὸ δραστικὸν εἰς τὸν νοῦν καὶ τὴν θέλησιν, ταὐτόν ἐστιν ὡς ἐὰν τιθῇ τις
f. 327v τὸν νοῦν ταὐτὸν εἶναι τῇ αἰσθήσει. Πλαγίως μέντοι γε καὶ | οὐ κατ' εὐθεῖαν ἡ δρᾶσις τῶν οὐρανίων σωμάτων δύναται ἐφάπτεσθαι τοῦ τε νοῦ καὶ τῆς θελήσεως, καθὸ ὁ νοῦς, ἢ ἡ θέλησις συνάπτονται ἐν τῇ ἰδίᾳ ἐνεργείᾳ ταῖς αἰσθητικαῖς δυνάμεσι. Βλαβέντος γάρ τι τοῦ ὀργάνου τῆς φαντασίας, ἐμποδίζεται ὁ νοῦς ἐν τῇ ἰδίᾳ ἐνεργείᾳ· καὶ ἐκ τῆς αἰσθητικῆς ὀρέξεως

---

10 Odyssée, VI, 136-137 14 *αὐτὸς* om B 27 *καὶ* avant *αὐτοὶ* add B 28 *ὅταν* B 29 *τοῦ Ὁμήρου* om B 31 *τὸ συναγ. — εἶναι* om B

αὖθις ἡ θέλησις ῥέπει πρὸς τὸ θέλειν τι, ἢ μὴ θέλειν. Ἀλλ' ὅμως ἡ θέλησις οὐκ ἐξ ἀνάγκης ἕλκεται ὑπὸ τῆς αἰσθητικῆς ὀρέξεως, ἀλλ' ἔστιν ἐπ' ἀδείας ἀεὶ αὐτῇ ἕπεσθαί τε τῇ ῥοπῇ τῆς αἰσθητικῆς ὀρέξεως, καὶ μή· διὰ τοῦτο τὰ οὐράνια σώματα οὐδεμίαν ἀνάγκην τοῖς ἀνθρωπίνοις ἐπάγουσι σώμασι.

Μετὰ ταῦτα, ἐν τῷ· Πάντες γὰρ οὗτοι, δείκνυσι τὴν αἰτίαν τῆς προειρημένης θέσεως. Φανερὸν δέ ἐστιν ὅτι, ἀναιρουμένης τῆς διαφορᾶς ᾗ διαφέρουσι τινὰ ἀλλήλων, μένουσι ταὐτόν, ὥσπερ εἰ τὸ λογικὸν ἀφαιρεθείη τοῦ ἀνθρώπου, ὑπολειφθήσεται ἐκ τοῦ ἀριθμοῦ τῶν ἀλόγων ζώων. Αὕτη δέ ἐστιν ἡ διαφορά, ᾗ διαφέρει ἡ νοερὰ γνῶσις τῆς αἰσθητικῆς, ὅτι τὸ αἰσθάνεσθαί ἐστι σωματικόν τι· οὐ γάρ ἐστιν ἡ ἐνέργεια τῆς αἰσθήσεως ἄνευ ὀργάνου σωματικοῦ. Τὸ δὲ νοεῖν οὐκ ἔστι τι σωματικὸν διὰ τὸ τὴν ἐνέργειαν τοῦ νοῦ μὴ γίνεσθαι δι' ὀργάνου σωματικοῦ, ὡς μετὰ ταῦτα δειχθήσεται. Οἱ ἀρχαῖοι ἄρα ἐτίθεντο τὴν αἴσθησιν καὶ τὸν νοῦν εἶναι ταὐτόν, διότι ἐτίθεντο τὸ νοεῖν εἶναί τι σωματικόν, ὥσπερ καὶ τὸ αἰσθάνεσθαι. Πῶς δὲ ἑκάτερον τούτων ἐτίθεσαν σωματικόν τι, δείκνυσι διὰ τούτου, ὅτι ἐτίθεντο τό τε κατὰ νοῦν φρονεῖν καὶ τὸ αἰσθάνεσθαι ὡσαύτως συμβαίνειν τῇ δυνάμει τῆς ὁμοιότητος, ὡς ἐν τῷ πρώτῳ βιβλίῳ εἴρηται, καὶ ἐνόουν ὁμοιότητα κατὰ τὸ εἶναι σωματικόν, οἷον ὅτι διὰ τῆς γῆς γινώσκεται ἡ γῆ, καὶ διὰ τοῦ ὕδατος τὸ ὕδωρ· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Ὅθεν ἠκολούθει τὸ αἰσθάνεσθαι καὶ τὸ νοεῖν ἕπεσθαι τῇ σωματικῇ φύσει καὶ τῷ αὐτῷ τρόπῳ, καὶ οὕτως ἕπεται τὸ αἰσθάνεσθαι καὶ νοεῖν εἶναι ταὐτόν.

Ἐφεξῆς λέγων· Καίτοι ἔδει, ἀποδοκιμάζει τὴν προειρημένην θέσιν, καὶ πρῶτον μὲν ὅσον πρὸς τὴν αἰτίαν· δεύτερον δὲ ὅσον πρὸς αὐτὴν τὴν θέσιν, ἐν τῷ· Ὅτι μὲν οὖν. Φησὶ τοίνυν, πρῶτον, ὅτι οἱ φιλόσοφοι ἀποδιδόντες αἰτίαν τῆς γνώσεως εἶναι τὴν ὁμοιότητα τοῦ γινώσκοντος πρὸς τὸ γνωστόν, ὤφειλον καί τινα αἰτίαν ἀποδοῦναι τῆς ἀπάτης, διότι ἡ ἀπάτη μᾶλλον δοκεῖ ᾠκειῶσθαι τοῖς ζῴοις ἢ ἡ γνῶσις ὅσον κατὰ τὴν κατάστασιν τῆς αὐτῶν φύσεως· ὁρῶμεν γὰρ ὅτι οἱ ἄνθρωποι ἐξ ἑαυτῶν ἀπατᾶσθαι καὶ πλανᾶσθαι δύνανται· πρὸς δὲ τὸ τὴν ἀλήθειαν ἐπιγινώσκειν δεῖ αὐτοὺς παρ' ἄλλων διδάσκεσθαι· καὶ πάλιν πλείω χρόνον ἐστὶν ἡ ψυχὴ ἐν ἀπάτῃ ἢ ἐν τῇ γνώσει τῆς ἀληθείας, διότι πρὸς τὴν τῆς ἀληθείας γνῶσιν μόλις ἀφικνεῖται μετὰ μακροῦ χρόνου σπουδῆν. Καὶ δραστήριος μέν ἐστιν οὗτος ὁ λόγος κατὰ τῶν ἀρχαίων φιλοσόφων, τῶν τιθέντων τὴν γνῶσιν ἐνυπάρχειν τῇ ψυχῇ ἐκ τῆς ἰδίας αὐτῆς φύσεως, ὡσανεὶ τῆς ψυχῆς, διὰ τὸ συνεστάναι αὐτὴν ἐκ τῶν ἀρχῶν, ἔχειν τὸ μὴ μόνον εἶναι ἐν δυνάμει πρὸς τὰ γνωστά, ἀλλὰ καὶ ἐνεργείᾳ εἶναι γινώσκουσαν. Δυνατὸν μέντοι πρὸς τοῦτο διπλῆς ἀποκρίσεως εὐπορῆσαι· πρῶτον μέν, ὅτι οἱ ἀρχαῖοι φιλό-

12 τὸ om B 17 ἐτίθησαν B 29 αὐτῶν: τοιαύτης B 36 ἐξ B, τῶν om B

σοφοὶ οὐκ ἐπίστευόν τινα ἀπάτην εἶναι· ἐτίθεντο γὰρ πάντα τὰ δοκοῦντα εἶναι ἀληθῆ, ὡς προείρηται, καὶ διὰ τοῦτο οὐκ ἔμελλον ἀποδιδόναι τῆς ἀπάτης αἰτίαν. Ἄλλῳ δὲ τρόπῳ δυνατὸν πρὸς ἐκεῖνο ἀποκρίνασθαι, ὅτι ἐξ αὐτοῦ τούτου, τοῦ λέγειν αἰτίαν τῆς γνώσεως εἶναι τὸ τὴν ψυχὴν ἅπτεσθαι τοῦ ὁμοίου αὐτῇ, δίδοται νοεῖσθαι ὅτι αἰτία τῆς ἀπάτης ἐστὶ τὸ τὴν ψυχὴν ἅπτεσθαι τοῦ ἑαυτῇ ἀνομοίου. Τοῦτο τοίνυν ἐστὶν ὃ συμπεραίνεται ὅτι, ἐπειδὴ οἱ ἀρχαῖοι φιλόσοφοι οὐκ ἀποδεδώκασιν αἰτίαν τῆς ἀπάτης, ἐντεῦθεν ἀνάγκη ἐστὶν ἢ πάντα τὰ φαινόμενα εἶναι ἀληθῆ, ὡς τινες εἶπον, ἢ τὴν ἀφήν, ᾗ ἅπτεται ἡ ψυχὴ τοῦ ἑαυτῇ ἀνομοίου, εἶναι τῆς ἀπάτης αἰτίαν· τὸ γὰρ ἅπτεσθαι τοῦ ἀνομοίου δοκεῖ εἶναι ἐναντίον τῷ γινώσκειν τὸ ἑαυτῇ ὅμοιον. Τὸ μὲν οὖν πρῶτον ἀποδεδοκίμασται ἐν τετάρτῳ τῶν μετὰ τὰ φυσικά. Ὅθεν προχωρεῖ πρὸς τὴν τοῦ δευτέρου ἐξέτασιν, ἐν τῷ· Δοκεῖ δέ.

Φανερὸν γάρ ἐστιν, ὅτι τὸ ὅμοιον καὶ ἀνόμοιον εἰσὶν ἐναντία. Ἀλλὰ
f. 328 περὶ τὰ | ἐναντία τῷ αὐτῷ τρόπῳ τὴν γνῶσιν ἔχει ὁ ἄνθρωπος καὶ τὴν ἀπάτην, διότι ὁ θάτερον τῶν ἐναντίων γινώσκων γινώσκει καὶ τὸ λοιπόν, καὶ ὁ πλανώμενος ἐν τῷ ἑνὶ πλανᾶται κἂν τῷ ἑτέρῳ τοῦτ' ἔστιν ὅ φησιν, ὅτι ἡ ἐπιστήμη καὶ ἡ ἀπάτη δοκεῖ καὶ αὐτὴ εἶναι τῶν ἐναντίων. Οὐκ ἄρα ἐστὶ δυνατὸν τὸ τὴν ἀφὴν τοῦ πράγματος τοῦ ὁμοίου αἰτίαν εἶναι τῆς ἀληθοῦς γνώσεως, καὶ τὴν ἀφὴν τοῦ ἀνομοίου πράγματος εἶναι αἰτίαν τῆς ἀπάτης, διότι οὕτως ἦν ἂν ἡ ἐπιστήμη περὶ τοῦ ἑνὸς τῶν ἐναντίων, καὶ ἡ ἀπάτη περὶ τοῦ λοιποῦ.

Ἐφεξῆς λέγων· Ὅτι μὲν οὖν, ἀποδοκιμάζει τὴν θέσιν, δεικνὺς ὅτι οὔτε τὸ φρονεῖν, οὔτε τὸ νοεῖν ἐστι ταὐτὸν τῷ αἰσθάνεσθαι· ταῦτα δὲ τὰ δύο τῇ νοερᾷ γνώσει ἀποδίδονται· ὁ γὰρ νοῦς ἔχει τὸ κρίνειν, ὅπερ ἐνταῦθα λέγεται φρονεῖν, καὶ τὸ καταλαμβάνειν εἴτουν ἀντιλαμβάνεσθαι, ὅπερ ἐνταῦθα λέγεται νοεῖν. Πρῶτον οὖν δείκνυσιν ὅτι τὸ αἰσθάνεσθαι οὐκ ἔστι ταὐτὸν ὅπερ τὸ φρονεῖν λόγῳ τοιούτῳ. Τὸ αἰσθάνεσθαι ἔνεστι πᾶσι τοῖς ζῴοις, τὸ δὲ φρονεῖν οὐκ ἔνεστι πᾶσιν, ἀλλ' ὀλίγοις. Τὸ φρονεῖν ἄρα οὐκ ἔστι ταὐτὸν ὅπερ τὸ αἰσθάνεσθαι. Λέγει δὲ ὅτι τὸ φρονεῖν ὀλίγοις ἐνυπάρχει τῶν ζῴων, καὶ οὐχ ὅτι ἐνυπάρχει τοῖς ἀνθρώποις μόνοις διὰ τὸ καὶ ἔνια τῶν ζῴων μετέχειν τι τῆς φρονήσεως καὶ σοφίας τινός, καθὸ κρίνουσιν ὀρθῶς περὶ τῶν ποιητέων κατὰ φυσικὴν ὑπόληψιν εἴτουν φαντασίαν. Δεύτερον, ἐν τῷ· Ἀλλ' οὐδὲ τὸ νοεῖν, δείκνυσιν ὅτι τὸ νοεῖν οὐκ ἔστι ταὐτὸν τῷ αἰσθάνεσθαι διὰ δύο μέσων, ὧν τὸ πρῶτον τοιοῦτον ἐστί. Τῷ νοεῖν ἁρμόζει τὸ ὀρθῶς καὶ τὸ οὐκ ὀρθῶς· τὸ μὲν γὰρ ὀρθῶς ἁρμόττει τῷ νοεῖν κατά τε τὴν ἐπιστήμην, ἥτις ἐστὶ τῶν θεωρη-

16 *γινώσκων*: *εἰδὼς* B 23 *δεικνὺς*: *λέγων* B 29 *ἔνεστι*: *ἔστι* B 37 *τε* om B

Ε.Υ.Δ. της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

τῶν καὶ ἀναγκαίων, καὶ κατὰ τὴν φρόνησιν, ἥτις ἐστὶν ὀρθὸς λόγος τῶν ἐνδεχομένων προνοητῶν, καὶ κατὰ τὴν δόξαν τὴν ἀληθῆ, ἥτις ἔχει μὲν πρὸς ἑκάτερον τούτων, οὐ μέντοι διωρισμένως πρὸς θάτερον τῶν ἀντικειμένων, ὡς ἡ ἐπιστήμη καὶ ἡ φρόνησις, ἀλλὰ πρὸς θάτερον μετά τινος ἐνδοιασμοῦ καὶ ὑποψίας τοῦ λοιποῦ. Τὸ δὲ μὴ ὀρθῶς ἁρμόζει τῷ νοεῖν κατὰ τἀναντία τούτων, τουτέστι κατὰ τὴν ψευδῆ ἐπιστήμην καὶ τὴν ἀφροσύνην καὶ τὴν ψευδῆ δόξαν. Τῷ δὲ αἰσθάνεσθαι οὐ προσήκει εἰ μὴ τὸ ὀρθῶς διὰ τὸ τὴν αἴσθησιν περὶ τὰ ἴδια αἰσθητὰ ἀεὶ ἀληθῆ εἶναι. Τὸ αἰσθάνεσθαι ἄρα καὶ τὸ νοεῖν οὐκ εἰσὶ ταὐτόν. Καὶ διότι δύναιτ' ἄν τις λέγειν, ὅτι τὸ ὀρθῶς νοεῖν ἐστι ταὐτὸν τῷ αἰσθάνεσθαι, διὰ τοῦτο ἐπάγει ἄλλο μέσον πρὸς τὸ ἀποκλεῖσαι τοῦτον τὸν λόγον, ὃ δὴ μέσον τοιοῦτον ἐστίν. Τὸ αἰσθάνεσθαι ἐνυπάρχει τοῖς ζῴοις πᾶσι, τὸ δὲ φρονεῖν οὐχί, τὸ δὲ νοεῖν οὐχί, ἀλλὰ μόνον οἷς ἔνεστι λόγος, δηλονότι τοῖς ἀνθρώποις, οἳ διὰ τῆς τοῦ λόγου ζητήσεως τὴν κατάληψιν τῆς νοητῆς ἀληθείας πορίζονται, εἰ καὶ αἱ χωρισταὶ οὐσίαι, ὑψηλοτέρου τυγχάνουσαι νοῦ, αὐτίκα καὶ χωρὶς ζητήσεως νοοῦσι τὴν ἀλήθειαν. Καὶ τὸ ὀρθῶς ἄρα νοεῖν οὐκ ἔστι ταὐτὸν τῷ αἰσθάνεσθαι.

Ἐφεξῆς λέγων· Φαντασία γάρ, δείκνυσιν ὅτι ἡ ὑπόληψις ἡ ἑπομένη τῷ νῷ ἐστιν ἄλλο παρὰ τὴν φαντασίαν, ἥτις ἕπεται τῇ αἰσθήσει. Καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστιν ὑπόληψις· δεύτερον, ζητεῖ τί ἐστιν ὑπόληψις, ἐν τῷ· Περὶ δὲ τοῦ. Περὶ τὸ πρῶτον τρία ποιεῖ· πρῶτον, προτίθησι τὸν σκοπὸν καὶ φησὶν ὅτι ἐκ τούτου φαίνεται, ὅτι ἡ αἴσθησις καὶ ὁ νοῦς διαφέρουσιν, διότι ἡ φαντασία ἕτερον τί ἐστι καὶ τῆς αἰσθήσεως καὶ τοῦ νοῦ, καίτοι τῆς φαντασίας οὐ γινομένης ἄνευ αἰσθήσεως· ἀκολουθεῖ γὰρ τῇ αἰσθήσει, ὡς μετὰ ταῦτα ῥηθήσεται, καὶ χωρὶς φαντασίας οὐ γίνεται ὑπόληψις. Οὕτω γὰρ δοκεῖ ἔχειν ἡ φαντασία πρὸς τὴν αἴσθησιν ὡς ἡ δόξα πρὸς τὸν νοῦν. Ἐν δὲ τοῖς αἰσθητοῖς πράγμασιν, ὁπόταν τινὸς αἰσθανώμεθα, διϊσχυριζόμεθα οὕτως εἶναι· ὅταν δὲ κατὰ τὴν φαντασίαν τι βλέπωμεν, οὐ διϊσχυριζόμεθα οὕτως εἶναι, ἀλλὰ οὕτω δοκεῖν ἢ φαίνεσθαι ἡμῖν. Ἀπὸ γὰρ τοῦ φαίνεσθαι καὶ δοκεῖν λαμβάνεται τὸ τῆς φαντασίας ὄνομα, ὡς μετὰ ταῦτα ῥηθήσεται. Ὁμοίως καὶ περὶ τὰ νοητά, ὅταν τι νοῶμεν, διϊσχυριζόμεθα οὕτως εἶναι· ὁπόταν δὲ δοξάζωμεν, οὐχ οὕτως εἶναι, ἀλλ' οὕτω δοκεῖν ἢ φαίνεσθαι ἡμῖν. Ὥσπερ τοίνυν ἡ φαντασία ζητεῖ τὴν αἴσθησιν, οὕτω καὶ τὸ δοξάζειν ζητεῖ τὴν φαντασίαν.

Δεύτερον, ἐν τῷ· Ὅτι δὲ οὐκ ἔστιν ἡ αὐτή, δείκνυσιν ὅτι οὐκ ἔστι ταὐτὸν φαντασία καὶ ὑπόληψις δυσὶ λόγοις, ὧν ὁ πρῶτος τοιοῦτος

---

2 *προνοητῶν*: *παθητῶν* B 6-7 *ἀφροσύνην*: *ἄγνοιαν* B 12-13 *τὸ δὲ φρονεῖν οὐχί, τὸ δὲ νοεῖν οὐχί* sic codd. 26 *ῥηθήσεται*: *δειχθήσεται* B

ἐστί. Τὸ πάθος τῆς φαντασίας ἔστιν ἐν ἡμῖν, ὁπόταν βουλώμεθα, διότι ἐν τῇ ἐξουσίᾳ τῇ ἡμετέρᾳ ἐστὶ μορφώσασθαί τι καὶ τυπῶσαι ὥσπερ φαί- f. 328v νόμενον πρὸ τῶν ὀφθαλμῶν ἡμῶν, | οἷον ὄρη χρυσᾶ, ἢ ὅ τι ἂν βουληθείημεν, ὡς δῆλόν ἐστιν ἐκ τῶν ἀναμιμνησκομένων καὶ τυπούντων ἑαυτοῖς εἴδωλα τῶν δοκούντων αὐτοῖς πρὸς βουλήσεως εἶναι. Ἀλλὰ τὸ δοξάζειν οὐκ ἔστιν ἐν τῇ ἡμετέρᾳ ἐξουσίᾳ, διότι ἀνάγκη τὸν δοξάζοντα λόγον ἔχειν, δι' οὗ δοξάζοι ἂν τὸ ἀληθές, ἢ τὸ ψεῦδος. Ἡ ἄρα δόξα οὐκ ἔστι ταὐτὸν ὅπερ ἡ φαντασία. Δεύτερον, τίθησι λόγον, ἐν τῷ· Ἔτι δὲ ὅταν, καὶ ὁ λόγος ἐστὶ τοιοῦτος. Ἐκ τῆς δόξης αὐτίκα ἕπεται πάθος ἐν τῇ ὀρέξει, διότι ὁπόταν δοξάζωμεν εἶναί τι βαρύ, ἢ φοβερόν, αὐτίκα συμπάσχομεν λυπούμενοι, ἢ φοβούμενοι· ὁμοίως δὲ καὶ εἴ τι θαρραλέον εἴη, τουτέστι περὶ οὗ τις ὀφείλει θαρρεῖν καὶ ἐλπίζειν, αὐτίκα ἕπεται ἡ ἐλπὶς ἢ ἡ χαρά. Ἀλλὰ πρὸς τὴν φαντασίαν οὐχ ἕπεται αὐτίκα τὸ πάθος ἐν τῇ ὀρέξει, διότι ὁπόταν φαίνηται ἡμῖν τι κατὰ τὴν φαντασίαν, ὁμοίως ἔχομεν ὥσπερ εἰ θεωροίημέν τινα ἐν γραφῇ φοβερά, ἢ ἐλπιστά. Ἡ ἄρα δόξα οὐκ ἔστι ταὐτὸν ὅπερ ἡ φαντασία. Ταύτης δὲ τῆς διαφορᾶς λόγος ἐστίν, ὅτι ἡ ὄρεξις οὐ πάσχει οὔτε κινεῖται ὑπὸ τῆς ἁπλῆς ἀντιλήψεως τοῦ πράγματος, οἵαν προτίθησιν ἡ φαντασία, ἀλλὰ δεῖ ἀντιλαμβάνεσθαι τοῦ πράγματος μετὰ τοῦ λόγου τοῦ ἀγαθοῦ, ἢ τοῦ κακοῦ, καὶ τοῦ συμφέροντος ἢ τοῦ βλαβεροῦ, καὶ τοῦτο ποιεῖ ἡ δόξα ἐν τοῖς ἀνθρώποις ἐν τῷ συντιθέναι καὶ διαιρεῖν, ὁπόταν δοξάζωμεν τοῦτο μὲν εἶναι φοβερὸν ἢ κακόν, ἐκεῖνο δὲ εἶναι ἐλπιστὸν ἢ ἀγαθόν. Ἡ δὲ φαντασία οὐ συντίθησιν οὐδὲ διαιρεῖ, πάσχει μέντοι γε ἡ τῶν ζῴων ὄρεξις ὑπὸ φυσικῆς ὑπολήψεως, ἥτις ἐνεργεῖ ἐν αὐτοῖς ὅπερ ἡ δόξα ἐν τοῖς ἀνθρώποις.

Τρίτον, ἐν τῷ· Εἰσὶ δὴ καὶ αὐτῆς, φησὶν ὅτι, ἐπεὶ πρὸς τὴν νοερὰν ἀντίληψιν πολλὰ ἀνήκουσιν, δηλονότι ἐπιστήμη, φρόνησις καὶ δόξα καὶ τὰ τούτων ἐναντία, περὶ τῆς τούτων διαφορᾶς οὐ δεῖ ἐνταῦθα καὶ νῦν πραγματεύσασθαι, ἀλλ' ἑτέρωθι, δηλονότι ἐν τῷ ἕκτῳ τῶν ἠθικῶν.

## Leçon V.

Περὶ δὲ τοῦ νοεῖν, ἐπεὶ ἕτερον τοῦ αἰσθάνεσθαι. Δείξας ὁ Φιλόσοφος ὅτι ἡ φαντασία οὐκ ἔστι δόξα, ἐνταῦθα ἄρχεται ἀνιχνεύειν τί ἐστι, καὶ πρῶτον φησὶ περὶ τίνος ἐστὶν ὁ σκοπός· δεύτερον, ἐπεξεργάζεται, ἐν τῷ· Εἰ δή ἐστι. Φησὶ τοίνυν, πρῶτον, ὅτι ἐπειδὴ δέδεικται ὅτι τὸ νοεῖν ἐστιν ἕτερον τοῦ αἰσθάνεσθαι καὶ πρὸς θάτερον μὲν τούτων ἀνήκει ἡ δόξα, δῆλον πρὸς τὸν νοῦν, πρὸς δὲ τὸ λοιπὸν ἡ φαντασία,

---

4 *ἔσται* B 5 *δοξαστόν* B 10 *δοξάζωμεν*: *διδάξωμεν* B 11 *δὲ* om B 13 *ἐν τῇ ὀρέξει* om B 20 *ἡ δόξα*: *ἡδέως* B 26 *καὶ* avant *δόξα* om B 31 *ἐπεὶ — αἰσθάνεσθαι* om A

δηλαδὴ πρὸς τὴν αἴσθησιν, ἐπειδὴ διωρίσθη περὶ αἰσθήσεως, ῥητέον ἐστὶ περὶ τῆς φαντασίας, ὡς ἂν οὕτως ὕστερον διορισθείη καὶ περὶ τοῦ νοῦ καὶ τῆς δόξης.

Μετὰ ταῦτα λέγων· Εἰ δὴ ἔστιν, ἐπεξεργάζεται τὸν σκοπόν, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι οὐκ ἔστι τις τῶν δυνάμεων ἢ τῶν ἕξεων τῶν φανερῶν ἡ διαιροῦσα ἢ διακρίνουσα τὸ ἀληθές, ἢ τὸ ψεῦδος· δεύτερον, δείκνυσι τί ἐστιν, ἐν τῷ· Ἀλλ' ἐπειδὴ κινηθέντος τοῦδε. Περὶ τὸ πρῶτον τρία ποιεῖ· πρῶτον, διακρίνει τὰς δυνάμεις καὶ τὰς ἕξεις, αἷς τι διακρίνεται· δεύτερον, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστι τι ἐξ ἐκείνων, ἐν τῷ· Ὅτι μὲν οὖν οὐκ ἔστιν αἴσθησις· τρίτον, ὅτι οὐδὲ σύνθετόν τι ἐστὶν ἐξ ἐκείνων, ἐν τῷ· Φανερὸν οὖν ὅτι οὐδέ. Λέγει τοίνυν, πρῶτον, ὅτι ἐπειδὴ ἡ φαντασία ἐστὶ καθ' ἣν λέγομεν γίνεσθαί τι ἡμῖν φάντασμα, εἰ μὴ ἴσως λάβοιμεν τὴν φαντασίαν μεταφορικῶς, ἀνάγκη τὴν φαντασίαν εἶναι ἢ ἐκ τοῦ ἀριθμοῦ τῶν ἕξεων, ἢ τῶν δυνάμεων τῶν γνωστικῶν, αἷς διακρίνεται ἓν ἀπ' ἄλλου, ἢ ἐκείνων τῶν δυνάμεων αἷς λέγομέν τι εἶναι ἀληθές, ἢ ψεῦδος, τουτέστι πλανώμεθα ἢ οὐ πλανώμεθα. Τὸ γὰρ φαίνεσθαί τι ἐστὶ τὸ διακρίνειν καὶ τὸ λέγειν ἀληθές, ἢ ψεῦδος. Αἱ δυνάμεις δὲ ἢ αἱ ἕξεις, αἷς διακρίνομεν καὶ λέγομεν τὸ ἀληθές, ἢ τὸ ψεῦδος, δοκοῦσιν εἶναι αὗται αἱ τέσσαρες· αἴσθησις, καὶ νοῦς, ἐπιστήμη καὶ δόξα. Ὅθεν ἡ φαντασία δοκεῖ τούτων εἶναί τι τῶν τεσσάρων. Τίθησι δὲ ταῦτα τὰ τέσσαρα, ἅτε ἤδη ἐγνωσμένα· τὰ γὰρ ἄλλα, τὰ πρὸς τὴν γνῶσιν ἀνήκειν δοκοῦντα, οὔπω ἐτύγχανον ἐν τῷ τούτου καιρῷ κατ' ἀκρίβειαν ἐγνωσμένα. Αὐτὸς γὰρ ἤδη διέκρινεν ἀνωτέρω τὸν νοῦν τῆς αἰσθήσεως. Ὅθεν παρὰ τὴν αἴσθησιν συναριθμεῖ τρία ἄλλα, δηλονότι τὸν νοῦν, τὴν ἐπιστήμην καὶ τὴν δόξαν. Καὶ δοκεῖ ὅτι ὁ νοῦς ἐνταῦθα οὐ λαμβάνεται ὡς δύναμις· οὕτω γὰρ οὐκ ἀντιδιαιρεῖται τῷ νῷ ἡ ἐπιστήμη καὶ ἡ δόξα, ἃ πρὸς τὴν νοερὰν ἀνήκουσι δύναμιν, ἀλλὰ λαμβάνεται ὁ νοῦς ἀντὶ τῆς ὁμολογουμένης καὶ σαφοῦς ἀντιλήψεως τῶν ἄνευ ζητήσεως ἡμῖν γνωριζομένων, ὥσπερ εἰσὶν αἱ πρῶται ἀρχαί. Ἡ δὲ ἐπιστήμη ἀντὶ τῆς γνώσεως ἐκείνων, περὶ ὧν πληροφορούμεθα διὰ τῆς τοῦ λόγου θήρας τε καὶ ἐρεύνης· ἡ δὲ δόξα ὡς γνῶσις τῶν πραγμάτων ἐκείνων, περὶ ὧν σαφῆ καὶ ὡρισμένην κρίσιν | οὐκ ἔχομεν. Ὅθεν καὶ λέγει τὴν f. 329
φαντασίαν εἶναι ἐκ τοῦ ἀριθμοῦ ἐκείνων ἕξιν ἢ δύναμιν, ὥστε δεῖξαι ὅτι ἐν τούτοις τί μέν ἐστιν ὡς δύναμις, τί δὲ ὡς ἕξις. Γινώσκειν δὲ δυνάμεθα ταύτας μόνας τὰς τέσσαρας ἀρχὰς τῆς καταλήψεως τοῖς ἀρχαίοις φιλοσόφοις ἐγνῶσθαι ἐκ τῆς ἐν τῷ πρώτῳ βιβλίῳ προεκτεθειμένης δόξης τοῦ Πλάτωνος, ὃς ταῦτα μόνον τὰ τέσσαρα πρὸς τοὺς ἀριθμοὺς ἀνήγαγεν, τὸν

1 *δηλαδή: τουτέστι* B   2 *ῥηθείη* B   7 *ἔστι* après *ἐπειδὴ* add B   14 *ἐκ τῶν δυνάμεων* B

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μὲν νοῦν ἀποδοὺς τῷ ἑνί, τὴν δὲ ἐπιστήμην τῇ δυάδι, τὴν δόξαν τῷ τρία καὶ τὴν αἴσθησιν τῷ τέσσαρα.

Ἐφεξῆς λέγων· Ὅτι μὲν οὖν οὐκ ἔστιν, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστι τι τούτων, καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι οὐκ ἔστιν αἴσθησις· δεύτερον, ὅτι οὐκ ἔστι νοῦς ἢ ἐπιστήμη, ἐν τῷ· Ἀλλὰ μὴν οὐδέ· τρίτον, ὅτι οὐκ ἔστι δόξα, ἐν τῷ· Λείπεται τοίνυν. Περὶ τὸ πρῶτον αὖθις τρία ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστιν αἴσθησις οὔτε κατὰ δύναμιν, οὔτε κατ' ἐνέργειαν, καὶ ἔστιν ὁ λόγος τοιοῦτος. Κοιμώμενός τις φαντάζεται· τοῦτο δὲ οὐ γίνεται κατὰ τὴν αἴσθησιν ἐν τῇ δυνάμει, διότι τῇ αἰσθήσει ὑπάρχει τὸ ἐν δυνάμει οὐδὲν φαίνεσθαι· ἀλλ' οὐδὲ κατὰ τὴν αἴσθησιν ἐν τῇ ἐνεργείᾳ, διότι κατὰ τὸν ὕπνον οὐκ ἔστιν ἡ αἴσθησις ἐν τῇ ἐνεργείᾳ. Ἡ φαντασία ἄρα οὔτε ἐνεργείᾳ ἐστὶν αἴσθησις, οὔτε δυνάμει. Δεύτερον, ἐν τῷ· Εἶτα αἴσθησις, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστιν αἴσθησις ἐν δυνάμει, καὶ ἔστιν ὁ λόγος τοιοῦτος. Ἡ αἴσθησις ἐν δυνάμει πάρεστιν ἀεὶ τῷ ζῴῳ. Ἡ δὲ φαντασία οὐκ ἀεί, διότι οὐκ ἀεὶ τῷ ζῴῳ τι φαίνεται. Ἡ φαντασία ἄρα οὐκ ἔστιν αἴσθησις ἐν δυνάμει. Τρίτον, ἐν τῷ· Εἰ δὲ τῇ ἐνεργείᾳ, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν τέτρασι λόγοις, ὧν ὁ πρῶτος τοιοῦτός ἐστι. Τὸ αἰσθάνεσθαι κατ' ἐνέργειαν ἐνδέχεται πᾶσι τοῖς θηρίοις, τουτέστι τοῖς ἀλόγοις ζῴοις. Εἰ τοίνυν ἡ φαντασία εἴη ταὐτὸν τῇ κατ' ἐνέργειαν αἰσθήσει, ἀκόλουθον ἂν εἴη καὶ αὐτὴν ἐνυπάρχειν πᾶσι τοῖς ἀλόγοις ζῴοις. Τοῦτο δὲ οὐκ ἔστιν ἀληθές· οὐ γὰρ ἐνυπάρχει τῷ μύρμηκι, ἢ τῇ μελίττῃ, ἢ τῷ σκώληκι. Ἡ φαντασία ἄρα οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν. Θεωρητέον δέ ἐστιν ὅτι πάντα τὰ ζῷα ἔχουσι τρόπῳ τινὶ τὴν φαντασίαν, ἀλλὰ τὰ ἀτελῆ ζῷα ἔχουσι τὴν φαντασίαν τρόπον τινὰ ἀτελῆ καὶ ἀδιόριστον, ὡς μετὰ ταῦτα ἐρεῖ ὁ Φιλόσοφος. Ἀλλὰ τοῦτο δοκεῖ μὴ εἶναι ἀληθὲς περί τε μύρμηκος καὶ μελίττης. Ἔν τισι γὰρ ἔργοις πλείστης φρονήσεως φαίνονται εἶναι. Καὶ ἰστέον ἐστὶν ὅτι τὰ τῆς φρονήσεως ἔργα ἡ μέλιττα καὶ ὁ μύρμηξ ἐργάζονται φυσικῇ τινι ῥοπῇ, οὐκ ἐκ τοῦ φαντασίαν ἔχειν διωρισμένην καὶ διακεκριμένην· οὐ γὰρ φαντάζονταί τι εἰ μὴ ὁπόταν κινῶνται ὑπὸ τοῦ αἰσθητοῦ· τὸ δὲ ἐνεργεῖν αὐτὰ διά τι τέλος, ὥσπερ προνοούμενα τοῦ μέλλοντος, οὐ συμβαίνει αὐτοῖς ἐκ τοῦ ἔχειν εἰκασίαν τινὰ ἐκείνου τοῦ μέλλοντος, ἀλλὰ φαντάζονται καὶ εἰκάζουσι τὰς παρούσας ἐνεργείας, αἵτινες τάττονται πρὸς τὸ τέλος φυσικῇ τινι μᾶλλον ῥοπῇ ἢ ἔκ τινος καταλήψεως. Ἐκεῖνα δέ φησιν ὁ Φιλόσοφος τῶν ζῴων φαντασίαν ἔχειν, ὁπόσοις τι κατὰ τὴν φαντασίαν φαίνεται, καὶ ὅταν μὴ ἐν τῇ ἐνεργείᾳ αἰσθάνηται.

---

10 *ὑπάρχει τὸ* om B *φαίνεται* B 21 *ἅπασι* B 28 *ἐστὶν* om B *καὶ* avant *ὁ μύρμηξ*: *ἢ* B

Ε.Υ.Σ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Τὸν δεύτερον τίθησι λόγον ἐν τῷ· Εἶτα αἱ μέν, τοιοῦτον ὄντα. Ἡ αἴσθησις ἡ κατ' ἐνέργειαν ἀεὶ ἐστὶν ἀληθής· οὐ γὰρ ἀπατᾶται ἡ αἴσθησις περὶ τὸ ἴδιον αἰσθητόν. Ἀλλ' αἱ φαντασίαι, ὡς ἐπὶ τὸ πλεῖστον, εἰσὶ ψευδεῖς· οὐ γὰρ ἀνταποκρίνονται ἢ συμφωνοῦσι τὰ πράγματα τῇ ἡμετέρᾳ εἰκασίᾳ καὶ τῷ φαντασμῷ, ὡς ἐπὶ τὸ πολύ. Ἡ ἄρα φαντασία οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν.

Τὸν τρίτον τίθησι λόγον ἐν τῷ· Ἔτι δὲ οὐ λέγομεν, ὅς δὴ τοιοῦτός τίς ἐστιν. Ὅταν ἐνεργῶμεν κατὰ ἀκρίβειαν περὶ τὸ αἰσθητὸν ἐνεργείᾳ ἤγουν αἰσθανόμενοι, οὐ λέγομεν ὅτι τοῦτο φαίνεται ἡμῖν ἄνθρωπος, ἀλλὰ μᾶλλον τοῦτο λέγομεν εἶναι ἄνθρωπον. Ὅταν δὲ μὴ φανερῶς αἰσθάνεσθαι δυνάμεθα, ἢ πόρρωθεν, δηλονότι ὁρῶντες, ἢ βλέποντές τι ἐν σκότει, τότε ἡ αἴσθησις ἡ κατ' ἐνέργειαν ἢ ἀληθής ἐστιν, ἢ ψευδής· περὶ γὰρ τὸ κατὰ συμβεβηκὸς αἰσθητόν, ὁποῖον δέ ἐστι καὶ ὁ ἄνθρωπος, οὐκ ἀεὶ ἡ αἴσθησις ἀληθής, ἀλλ' ἀπατᾶται ἔστιν ὅτε. Προστίθησι δὲ τοῦτο, ἵνα δείξῃ τὴν κοινωνίαν τῆς οὐκ ἀκριβοῦς αἰσθήσεως πρὸς τὴν φαντασίαν, ἥτις καὶ αὐτὴ ποτὲ μέν ἐστιν ἀληθής, ποτὲ δὲ ψευδής. Ὁπόταν δέ τι φανερῶς φανταζώμεθα, λέγομεν ὅτι τοῦτο φαίνεται, ἢ δοκεῖ ἡμῖν ἄνθρωπος, καὶ οὐχ ὅτι ἄντικρυς ἐστὶν ἄνθρωπος. Ἡ φαντασία ἄρα οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν.

Τὸν τέταρτον λόγον τίθησιν ἐν τῷ· Καὶ ὅπερ δὲ ἐλέγομεν, τοιοῦτον ὄντα. Αἱ φανταστικαὶ ὄψεις φαίνονται καὶ τοῖς ὑπνώττουσιν· ἐν αὐτοῖς δὲ οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν. Ἡ φανταστικὴ ἄρα ὄψις οὐκ ἔστιν αἴσθησις κατ' ἐνέργειαν.

Ἐφεξῆς λέγων ὅτι· Ἀλλὰ μήν, δείκνυσιν ὅτι ἡ φαντασία οὔτε νοῦς f. 329v
ἐστιν, οὔτε ἐπιστήμη. Ὁ γὰρ νοῦς, τῶν πρώτων ὑπάρχων ἀρχῶν, καὶ ἡ ἐπιστήμη, τῶν συμπερασμάτων δι' ἀποδείξεως προσγινομένη, τῶν ἀληθῶν εἰσίν· ἡ δὲ φαντασία ἔστιν ὅτε ψευδὴς τυγχάνει. Ἡ ἄρα φαντασία οὔτε νοῦς ἐστιν, οὔτε ἐπιστήμη.

Μετὰ ταῦτα λέγων· Λείπεται ἄρα, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστι δόξα, ὃ μᾶλλον ἐδόκει διὰ τὸ καὶ τὴν δόξαν ἐνίοτε ψευδῆ εἶναι, ὥσπερ ἡ φαντασία, δείκνυσι δὲ τοῦτο δυσὶ λόγοις, ὧν ὁ πρῶτος τοιοῦτός ἐστι. Τῇ δόξῃ ἀκολουθεῖ πίστις· οὐδὲ γὰρ φαίνεται ἐνδεχόμενον εἶναι μὴ πιστεύειν τινὰ οἷς δοξάζει, καὶ οὕτω διὰ τὸ μηδενὶ τῶν θηρίων ὑπάρχειν τὴν πίστιν, οὐδὲ ἡ δόξα αὐτῶν οὐδενὶ ἐνυπάρχει. Ἀλλ' ἡ φαντασία ἐνυπάρχει πολλοῖς τῶν θηρίων, ὡς εἴρηται.

Ὁ δεύτερός ἐστιν ἐν τῷ· Ἔτι εἰ πάσῃ μέν, καὶ φησὶν ὅτι πάσῃ δόξῃ ἕπεται πίστις, ἀλλ' ἐπειδὴ [ἕκαστος πιστεύει ὅπερ δοξάζει, ὡς

---

8 *τίς* om B 11-13 *σκότει — καὶ ὁ* om B 17 *ἡμῖν* om B 21 *φαντασίαι* B
22 *φαντασία* B *ἄρα ἢ ὄψις* B 37 *μὲν* avant *δόξῃ* add B

Ε.Υ.Δ.Ν.Σ.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

εἴρηται, τῇ δὲ πίστει ἕπεται τὸ πεπεῖσθαι· ἐκεῖνα γὰρ πιστεύομεν, ἅπερ πεπεισμένοι ἐσμέν· τῇ δὲ πειθοῖ ἕπεται ὁ λόγος κατὰ τὴν τῆς ἐπιφορᾶς τάξιν, διότι λόγῳ τινί τις περὶ ὁτουοῦν εἴωθε πείθεσθαι· ἐκ τοῦ πρώτου ἄρα πρὸς τὸ τελευταῖον ἔχων δόξαν, ἔχει καὶ λόγον, οὐδὲν δὲ θηρίον ἔχει λόγον, καίτοι ἔνια φαντασίαν ἔχουσιν, ἡ φαντασία ἄρα οὐκ ἔστι δόξα. Καὶ δῆλον ἐστὶν ὅτι οὗτος ὁ δεύτερος λόγος εἰσάγεται πρὸς βεβαίωσιν τοῦ πρώτου ὅσον πρὸς τὴν τοῦ πρώτου ὑπόθεσιν. Ὑπετίθει γὰρ ἐκεῖνος μηδὲν τῶν θηρίων ἔχειν πίστιν.

Μετὰ ταῦτα λέγων· Φανερὸν τοίνυν ὅτι, δείκνυσιν ὅτι ἡ φαντασία οὐκ ἔστι τι σύνθετον ἐκ τῶν προειρημένων, καὶ μάλιστα ἐκ τῆς δόξης καὶ τῆς αἰσθήσεως, ἐξ ὧν μᾶλλον δύναιτ' ἂν δοκεῖν συντεθεῖσθαι, καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, τίθησι τὸν αὐτοῦ σκοπόν, ὡσανεὶ συμπεραίνων ἐκ τῶν προειρημένων. Λέγει γοῦν ὅτι, ἐπειδὴ ἡ φαντασία οὔτε αἴσθησις ἐστίν, οὔτε δόξα, φανερὸν διὰ τοῦτο εἶναι δύναται καὶ ὅτι ἡ φαντασία οὐκ ἔστι δόξα μετ' αἰσθήσεως, οὕτω δηλονότι ὥστε οὐσιωδῶς μὲν αὐτὴν εἶναι δόξαν, ἔχειν δὲ τὴν αἴσθησιν συνοδεύουσαν· οὔτε ἐστὶ δόξα δι' αἰσθήσεως; οὕτω δηλονότι ὥστε οὐσιωδέστερον μὲν εἶναι δόξα, ἔχειν δὲ τὴν αἴσθησιν αἰτίαν ἑαυτῆς· οὔτε ἐστὶ συμπλοκὴ δόξης καὶ αἰσθήσεως, οὕτως ὥστε οὐσιωδῶς ἐξ ἀμφοῖν συντεθεῖσθαι. Οὐ προστίθησι δὲ ὅτι οὐκ ἔστιν ἡ φαντασία αἴσθησις μετὰ δόξης, διότι ἡ φαντασία μᾶλλον δοκεῖ συνέρχεσθαι καὶ ὁμοιῶσθαι τῇ δόξῃ, ἥτις δύναται εἶναι καὶ ψευδὴς ἢ μετὰ τῆς αἰσθήσεως, τῆς ἀεὶ ἀληθοῦς οὔσης.

Δεύτερον, ἐν τῷ· Καὶ δῆλον ὅτι οὐκ ἄλλου, δείκνυσι πῶς καὶ λαμβάνεσθαι τὴν δόξαν ἐν τῇ αἰσθήσει, εἰ ἡ φαντασία περιλαμβάνει τὴν δόξαν καὶ τὴν αἴσθησιν· διότι γὰρ ἡ φαντασία ἐστὶν ἑνὸς καὶ τοῦ αὐτοῦ, φανερόν ἐστιν ὅτι ἡ δόξα συναπτομένη τῇ αἰσθήσει, ἥτις ἐστὶν ἡ φαντασία, οὐκ ἔστιν ἄλλη ἀλλ' ἐκείνη, ἥτις ἐστὶ περὶ τοῦ αὐτοῦ, περὶ οὗ ἐστὶ καὶ ἡ αἴσθησις, ὥσπερ ἐὰν λέγωμεν ὅτι ἡ φαντασία ἐστὶ συμπλοκή τις ἐκ τῆς δόξης τοῦ λευκοῦ καὶ τῆς αἰσθήσεως τοῦ αὐτοῦ· οὐ γὰρ δύναται συγκεῖσθαι ἐκ τῆς δόξης τοῦ λευκοῦ καὶ τῆς αἰσθήσεως τοῦ ἀγαθοῦ· οὕτω γὰρ ἡ φαντασία οὐκ ἂν ἦν περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος. Δεῖ τοίνυν, εἴπερ ἡ φαντασία ἐστὶν ἐκ συμπλοκῆς δόξης καὶ αἰσθήσεως, τὸ φαίνεσθαί τι κατὰ τὴν φαντασίαν μηδὲν ἕτερον εἶναι ἢ τὸ δοξάζειν ἐκεῖνο αὐτό, ὅπερ αἰσθάνεται καθαυτό, καὶ οὐ κατὰ συμβεβηκός.

Τρίτον, ἐν τῷ· Φαίνεται δέ γε, ἀναιρεῖ τὴν προειρημένην θέσιν τοιούτῳ λόγῳ. Ἐνδέχεταί ποτε φαίνεσθαί τινα ψευδῆ κατὰ τὴν φαντασίαν, ἅπερ ἐστὶν ἀπὸ τῆς αἰσθήσεως καὶ περὶ ὧν ὁ ἄνθρωπος ἔχει ἀληθῆ δόξαν, ὥσπερ κατὰ τὴν αἴσθησιν φαίνεται ὁ ἥλιος μὴ ὑπερβαίνων ποδιαῖον μέγεθος,

---

19 οὐκ ἔστιν om B  20 αἴσθησις om B

Ε.Υ.Δ της Κ.τ.Ι
ΙΩΑΝΝΙΝΑ 2006